ἢ ἀνασαρκωματικόν· καὶ διὰ τοῦτο τῶν ἡπατικῶν ὅσα ἐστὶ ποιοῦντα αἷμα καὶ
φλεγμονώδη· ἡ δ᾽ αὖ λειώδης καὶ δριμεῖα τεθεῖσα τὴν δύναμιν ἐπῄνεις
τοσοῦτον· ὥστε τῷ πίνεσθαι ἐθέλοντι οἱ ἰδιῶται ἐγχεόμενοι βαλ μάλα
τοῖς κατεαγμένοις θερμάτοις ὑπὸ τῶν ψαλίδων ἐπισπάσαντες αὐτά
θεραπεύουσιν ὡς παρ᾽ ἡμῖν ἑτέροι σπόγγω· χρῶνται δ᾽ αὐτῷ καὶ πρὸς
τὰς ψώρας ἐντιθέντες βάπτοντες καὶ τοῖς κρόταφοις αἱ δὲ κεδρίδες οὕτω γάρ
ὀνομάζουσι τὸν καρπὸν τῆς κέδρου μετριωτέραν ἔχουσι τὴν δύναμιν ὥσ-
τε καὶ ἐσθίεσθαι δύνασθαι· πλὴν ἀλλὰ καὶ τούτων εἴ τις προσενέ-
γκοιτο πλείονα κεφαλὴν ἀλγεῖ καὶ θερμαίνεται· ἢ δάκνεται κατὰ τὴν
γαστέρα. κενταυρίου τοῦ μικροῦ

Κενταυρίου τοῦ μεγάλου, ἡ ῥίζα ὡς ἂν ἐναντίας ποιότητας ἐναντίας
οὕτω καὶ τὰς χρείας τὰς ἐνεργείας ἐπιδείκνυται· καὶ γὰρ ἐν γεύσει
δριμεῖα ἅμα καὶ στύφουσα φαίνεται μετά τινος βραχείας γλυκύ-
τητος· κατὰ δὲ τὰς ἐνεργείας ἡ δριμύτης τὰ τῆς θερμότητος ἔργα
διαδείκνυται πεφθέντα καταμήνια καὶ ἔμβρυα νεκρὰ κατασπῶ-
σα καὶ ζῶντα διαφθείρουσα καὶ ἐκβάλλουσα· ἡ δὲ στύψις τὰ τῆς πα-
χύτητος καὶ γλυκύτητος τὰ ψυχρότητος ὥστε ῥήγματα κολλᾶν καὶ τοὺς
αἷμα πτύοντας ὠφελεῖν· δίδονται δὲ αὐτῆς γραμμαὶ δύο τοῖς μὲν πυρέ-
σσουσι μεθ᾽ ὕδατος· τοῖς δὲ ἀπυρέτοις μετ᾽ οἴνου· κατὰ δὲ τὴν ἐξ ἀμφοῖν πασῶν
τῶν ποιοτήτων ἐνέργειαν καὶ ῥηγμασι καὶ σπάσμασι καὶ δυσπνοίᾳ
καὶ τοῖς πεπαλαιωμένοις καὶ συστρέμμασι βηχῶν· οὐ γὰρ ἐκ πνεύμονος χρησίμη
ἐπὶ τούτων τὸ φάρμακον· ἀλλὰ καὶ ῥώννυσι καὶ τονοῖ τὰ ἐν καθαρ-
θεῖσα· εἰς τὸ οὖν τὸ ἐκτιθῶσι χρήσιμος ἡ δριμύτης· ὅλον μὴ μόνη, μηδ᾽
ἀκριβὴς ὑπάρχει· αὐτὴ δὲ ἡ γλυκύτης τινὶ μέγιστον ἢ οὐ πάντως τό
πικρότητι· τὸ γὰρ ἰσχυρὸν οὕτως καὶ τὸ ῥίζιμον ἐξαλλάξει μεμιγμένης
αὐτῆς τινος ζυτίας ἀκριβοῦς· ἡ γλυκύτης γὰρ ἡ γλυκεῖα· εἰς δ᾽ τὸ ῥώννυσι
καὶ τονοῦν ἀγαθὴ τὰ ἀκμῶν τῆς στύψεως ἡ χρεία· τὰ δὲ αὐτὰ τῇ
ῥίζῃ καὶ ὁ χυλὸς αὐτῆς ἐργάζεται· καὶ τινῶν αὐτὸ λυκίου χρῶνται
τὸ φάρμακον. κενταυρίου τοῦ μικροῦ:

Κενταυρίου τοῦ μικροῦ μὲν ἡ ῥίζα τοσαύτη πᾶσιν ἄπρακτος· οἱ δὲ κλάδοι
ἢ κόμη ὄντα τὰ φύματα αὐτῶν καὶ τὰ αὐτὰ χρήσιμα κατὰ
κρατεῖ δ᾽ ἐν αὐτοῖς ἡ πικρὰ ποιότης ὀλίγον τι καὶ στύψεως μετέχουσα.